‖ καὶ γενέσθαι

δόντες, ἀλλ' ἀφ' ὧν λέγοντες δυσωπούμενοι, καὶ τοῦτο προ-
γράψωμεν τῷ λόγῳ. ἠδύνατο τὸ φῶς ἀμειφθῆναι,
καὶ ἕτερον παρ' ἑαυτὸ γενέσθαι,‖ πρὸς τὴν πονηρίαν. καὶ ἑαυ-
τοῦ μὲν ἐπιλαθέσθαι, ποιῆσαι δὲ ὅσα ἡ πονηρία ποιεῖ,
ἠδύναντο καὶ οἱ τῆς πονηρίας ἄρχοντες τοῦτο παθεῖν, καὶ
μᾶλλον μεταβάλλεσθαι ἐπὶ τὸ καλόν. ἰσχυούσης δὲ τῆς
μεταβολῆς, καὶ δυναμένης τῆς ἀλλοιώσεως, πῶς οὐκ ἀ-
μεινον ἦν τοὺς κακοὺς μᾶλλον ἐπὶ τὴν ἀρετὴν μετα-
βληθῆναι, ἢ τοὺς καλοὺς ἐπὶ τὴν κακίαν; πῶς δὲ καὶ
ἠνέσχετο ὁ Θεὸς, καὶ ληφθῆναι τὸ φῶς ἐπέτρεψε; πῶς
οὐ κεκώλυκε τὴν ὁρμήν; πῶς τὰ ἴδια οὐκ ἐτήρησε;
πῶς δὲ μετὰ τὸ ἀφαιρεθῆναι, πρόνοιαν τῶν ἀφαιρεθέν-
των ποιήσασθαι οὐ βεβούληται; πῶς οὐ προλαβὼν
ἐπέσχε τὴν ἐπιχείρησιν. πῶς μᾶλλον ἀνάλωτα οὐ τετή-
ρηκεν, ἀλλὰ ἁλόντα, καὶ ληφθέντα βοηθείᾳ οὐ τετι-
μηκεν; εἰ μὲν εἴασεν ἵνα τὸ φῶς γενόμενον ἐν τοῖς κα-
κοῖς μεταβάλῃ τὰ κακὰ, ὡς δυναμένων μεταβάλλε-
σθαι τῶν κακῶν, οὐκέτι τὰ κακὰ φυσικὰ, δυνάμενα με-
ταβάλλεσθαι. ἀπὸ τῶν κακῶν ἐνέχυρον τὴν μεταβολὴν
κατὰ τῆς φύσεως λαμβάνει. εἰ δὲ ἠπίσατο, ὅτι οὐ με-
ταβάλλετο. καὶ ὅτι οὐ πέφυκεν ἀλλοιοῦσθαι, πῶς μάτην
εἴασε ζημίαν μὲν ὑπομεῖναι τὸ καλὸν, κέρδος δὲ μὴ
ἀπονεῖμαι τῷ κακῷ; πῶς δὲ αὐτὰ μὲν τὰ κακὰ
οὐκ ἀλλοιοῦσθαι ᾔδει; ἑαυτὸν δὲ καὶ τὰ ἑαυτοῦ καλὰ ἀλλοι-
ούμενα παρεῖδεν; ἄτοπος γὰρ ὅρος οὗτος, αὐτὸν μὲν εἶ-
ναι ἀλλοιωτὸν, διὰ τὸ ἀλλοιοῦσθαι τὰ ἑαυτοῦ, μὴ εἶναι
δὲ ἀλλοιουμένην τὴν ὕλην. καὶ τούτου μὲν τοιοῦτος ἔλεγ-
χος. ἵνα πολλὴν συστείλωμεν ὁμιλίαν τὰς προβολὰς
αὐτῶν, τὰς μάχας, τὰς μυθοποιΐας ἐκείνας καὶ γιγαν-
τομαχίας σιωπῶντες. ἵνα καὶ τὰ εἰρημένα περὶ τῆς ἀρ-
χῆς τῶν πραγμάτων δίκην ἀφορμῆς τινος εἰρημένα τυγ-
χάνῃ, καὶ σπέρμα τῶν ζητήσεων ὑπάρχῃ. ἐξεργασό-
μεθα δὲ καὶ τὸν περὶ τὸν νόμον μετρίως εἰ τὸν πε-

τῆ